ὁ Καλλικλῆς ἐκ παροιμίας εὐθέως ἄρχεται· λέγει γάρ, ὅτι φασὶν ἐν πολέμῳ χρῆναι ὑστερίζειν μᾶλλον. εἶτα ὁ Σωκράτης παροιμίᾳ τὴν παροιμίαν ἰᾶται, καὶ λέγει καὶ αὐτὸς παροιμίαν· ἐρεῖ γάρ· ἀλλ' ἢ τὸ λεγόμενον κατόπιν ἑορτῆς ἥκομεν· καὶ βλέπε, πῶς οὐχ ἡ αὐτὴ παροιμία. ἐκεῖνος μὲν γὰρ πολεμώδη καὶ φιλοσώματον καὶ ταραχώδη παροιμίαν φέρει, οὗτος δὲ ἐπὶ ἑορτῆς, πρῶτον μὲν ὅτι ἡ ἑορτὴ ἐγγίζει τῷ θεῷ, ἔπειτα καὶ αἰνιττόμενος καὶ σκώπτων τὴν ἄγνοιαν αὐτῶν, ὅτι τὰς ἡμέρας, ἐν αἷς ἐπεδείκνυτο ὁ Γοργίας, ἑορτὰς ἐκάλουν.

p. 447a. καὶ μάλα γε ἀστείας ἑορτῆς.

ὁ Καλλικλῆς λέγει τοῦτο ἐπαινῶν τὴν ἑορτὴν καὶ τὴν ἐπίδειξιν· 4 φαίνεται δὲ καὶ ἐντεῦθεν τὸ ἀπαίδευτον αὐτοῦ· πάνυ γὰρ ἐπαινεῖ· λέγει γὰρ καὶ μάλα· καὶ ἐπιφέρει τὸ ἀστείας. οὐ δεῖ δὲ οὐδὲ εἰς ἄκρον ἐπαινεῖν, οὐδὲ εἰς ἄκρον σκώπτειν· δείξει τοίνυν αὐτὸν μετ' ὀλίγον σκώπτοντα τὴν ῥητορικὴν καὶ λέγοντα μηδενὸς αὐτὴν ἀξίαν.

p. 447a. πολλὰ γὰρ καὶ καλά.

ἰδοὺ καὶ τοῦτο ἄχρηστον· οὐ γὰρ τὸ πλῆθος δεῖ ἐπαινεῖν, 5 ἀλλὰ τὰ λεγόμενα· ἐπήγαγεν δὲ τὸ καλὰ ὡς κριτὴν ἑαυτὸν καθιστάς· ποία δὲ κρίσις Καλλικλέους; ὥστε πάντα ἀπαιδεύτως φθέγγεται.

p. 447a. τούτων μέντοι, ὦ Καλλικλεῖς.

τοῦ μὴ εὑρεθῆναί με, φησίν, ὦ Καλλικλεῖς, αἴτιος γέγονεν 6 ὁ Χαιρεφῶν ἀναγκάσας με ἐπὶ πολὺ διατρίψαι ἐν ἀγορᾷ. καὶ ἄξιον ζητῆσαι, πῶς φιλόσοφος ἀγοράζει· δεῖ γὰρ ἡσύχιον βίον ἄγειν. φαμὲν ὅτι καὶ ὁ φιλήδονος ἀγοράζει καὶ ὁ φιλοχρήματος καὶ ὁ φιλότιμος καὶ ὁ φιλόσοφος· ἀλλ' οὐχ ὁμοίως πάντες· ὁ μὲν γὰρ φιλήδονος ἀγοράζει ὀπιπεύσων κόρας καλάς, ἵνα ἀπατήσῃ, ὁ δὲ φιλοχρήματος περιβλεπόμενος, εἰ δυνηθείη πωλούμενόν τι ὠνήσασθαι καλῶς καὶ

---

5 mg. παροιμία καὶ αὕτη ἐφ' ὧν καὶ ἡ πρὸ αὐτῆς κατόπιν ἑορτῆς ἥκεις **24** mg. ἀπορία **26** mg. λύσις